Αἴσωπος εἶπεν, ἄπιθι, καὶ ταχὺ ποίει. Εἰσελθὼν οὖν ὁ Ξάνθος πρὸς τὴν γυναῖκα, κυρία, φησὶ, οὐκέτι με ὀνειδίσεις ἀπὸ τοῦ θεράποντος, ὅτι ἀπὸ σῶν δουλεύομαι παιδαρισκίων. ἰδὲ κἀγώ σοι ἕνα παῖδα ἐξωνησάμην, καὶ ὄψει κάλλος οἷον οὐδέποτε τεθέασαι. Αἱ δὲ θεραπαινίδες ἀκούσασαι, καὶ νομίσασαι ἀληθῆ εἶναι τὰ λεγόμενα ἤρξαντο πρὸς ἀλλήλας μάχεσθαι καὶ λέγειν, ἐμοὶ ὁ δεσπότης ἄνδρα ὠνήσατο. Ἄλλη δὲ φησί, τὰ κενὰ σοὶ εἰς τὴν ὄψιν. ἐμοὶ γὰρ εἰς γάμους τοῦτο συνέθετο. Ἄλλη δὲ ἔφη, ἐγὼ ἐν ὀνείροις ἐνυμφευόμην. τούτων δὴ διαμαχομένων, ἡ γυνὴ τῷ Ξάνθῳ ἔφη, περὶ οὗ τοσαῦτα κατέβαλες ἐγκώμια, ποῦ ἐστιν. ὁ δὲ ἔφη, μέχρι τοῦ πυλῶνος ἠκολούθησε, μὴ κληθεὶς δὲ εἰσελθεῖν, ἔξω ἔμεινεν. Ἡ δὲ φησὶ, τὸν νεώνητόν μοι τὶς καλεσάτω. μία οὖν γαυριῶσα τῶν ἄλλων μαχομένων, προδραμοῦμαι